Πάσῃ μὲν νοητῇ κτίσει καὶ αἰσθητῇ ὁ ταύτην καταρχὰς οὐσιώσας ἀρρήτῳ λόγῳ καὶ συστησάμενος ὅρους ἀληθῶς καὶ βάθρα ὥσπερ τι θριγγίον ἀσφαλὲς ἐπήξατο καὶ χαράκωμα καὶ οὐδὲν τι τῶν ἁπάντων ἀορίστως κατέλιπεν ὅποιπερ ἂν τὴν ὁρμὴν ἔχοι καὶ φύσιν καὶ κίνησιν περιάγεσθαι καὶ τῶν δεόντων ἔξω που μεταβαίνειν καὶ προχωρεῖν ὥστε μὴ τῇ ἀκαίρῳ καὶ ἀσχέτῳ ἑκάστου τῶν ὄντων ῥοπῇ ἀντ' εὐταξίας εἰς ἀκοσμίαν καὶ σύγχυσιν τὸ αὐτοῦ κάλλιστον καὶ ἐξαίρετον δημιούργημα συμβαίνῃ περιπίπτειν ἐκ τῆς πρὸς ἄλληλα μεταβάσεως. ἐντεῦθεν ἄρα καὶ οἱ τῆς εὐσεβείας κήρυκες καὶ διδάσκαλοι τῷ κανόνι τούτῳ στοιχήσαντες καὶ ὡς ὑποδείγματι καὶ εἰκόνι χρησάμενοι τὰς ἑαυτῶν εἰσηγήσεις τε καὶ νομοθεσίας ὅροις κατησφαλίσαντο καὶ ἐκράτυναν καὶ μηδέν τι προστιθέναι ἢ ἐλλείπειν γενικῶς ἀπεῖρξαν καὶ ἀπεφήναντο εἰ μήπου καὶ εἴ τι τούτοις ἕτερον παραπλήσιον τύχῃ παρεμπίπτον ἀναγκαιότατον καθὰ πολλάκις συμβαίνει γίνεσθαι ὡς δοκεῖν μὲν ἀλλότριον τῇ δ' ἀληθείᾳ καὶ τῇ τοῦ Θεοῦ ἁγίᾳ ἐκκλησίᾳ ὀρθὸν καὶ ἀπλανὲς καὶ μὴ ἀλλότριον κρίνεσθαι μὴ δὲ τῇ κανονικῇ τηρήσει καὶ παραδόσει ἀντιπράττον ἀριδήλως καὶ λυμαινόμενον μὴ προκειμένου δὲ τοιούτου σκοποῦ μὴ δὲ τοῦ πράγματος ἀπαιτοῦντος ἀναγκαίως καὶ ἐκβιάζοντος οὐκ ἔστι πάντως συνοῖσον οὐδὲ θεμιτὸν ὅρια πατέρων ὑπερβαίνειν καὶ παρεγκλίνειν τοῦ νενομισμένου καὶ τοῦ καθήκοντος. εἴπερ γὰρ τοῦτο δοθείη, συμβαίη ἂν ἐπακολουθῆσαι ὄντως καὶ ἄτοπα ὡς καὶ πολλὰ πολλάκις τοιαῦτα εἴωθε γίνεσθαι. διὰ τοι τοῦτο καὶ ὑπερβολὰς καὶ ἐλλείψεις ἐπὶ τοῖς κειμένοις ὅροις καὶ κανόσιν οὐ χρὴ τὸ παράπαν ἐγγίνεσθαι μεσότης γὰρ ἐπὶ πᾶσι καὶ ὁ τοῦ συμμέτρου λόγος τῇ ἐπαινουμένῃ καὶ ἀρίστῃ μοίρᾳ παρὰ τῶν εὖ εἰδότων κρίνειν ὀρθῶς ἐντέτακται καὶ καθέστηκεν ἐπεὶ καὶ πῶς ἂν καὶ σῶμα λεχθείη πληρέστατόν τε καὶ ἄρτιον ᾧ συμβεβηκέ τι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔχειν μέρος ἐλλεῖπον ἢ περιττεῦον ἢ πῶς ἂν εἴποι τις ὡς ἀσφαλῶς καί δικαίως· «τό δέ τι κατ' ἰσομοιρίαν μεμέρισται» μή καί τῶν μερῶν αὐτοῦ ἐξίσου διανενεμημένων ἀλλ' ἑνός ἐκ τούτων πλεονασμόν ἢ ἔλλειψιν κεκτημένου; ἀλλ' οὐδ' ἀστρονόμος ἢ γεωμέτρης καί οἱ τῆς λοιπῆς αὐτῶν συμμορίας καί ἐπιστημονικῆς φιλοσοφίας δύναιντ' ἂν ὀρθῶς καί ἀσφαλῶς τελεσιουργῆσαι συμπέρασμα μή τῶν ὅρων καί κανόνων ἢ καί προτάσεων εὖ συντηρουμένων αὐτοῖς καί μενόντων ἐν ἀκριβείᾳ. ἀλλ' εἰς τί ταῦτα τῇ βασιλείᾳ μου λέλεκται; τό Ὄρος τοῦ Ἄθω ἔστι μέν ὡς ἀληθῶς τά τε ἄλλα θαυμαστόν καί τερπνότατον καί τῶν πρός ἀνατολάς κειμένων καί διαβεβοημένων οὐκ ἔλαττον εἰ δέ καί παράδεισον ἕτερον ἢ κατάστερον οὐρανόν ἢ καί ἀρετῶν πασῶν καταγώγιον τοῦτ' ἄν τις καλέσειεν οὐκ ἂν ἁμάρτοι τοῦ δέοντος. σεμνεῖα γάρ κεῖσε καί εὐαγῆ φροντιστήρια ἔστιν ἰδεῖν κάλλει τέ καί μεγέθει καί τοῖς ἄλλοις πᾶσι τερπνοῖς ἐνευθηνούμενα καί ὡραϊζόμενα ἔτι τε μοναζόντων τάγματα καί συστήματα κρείττω μέν σχεδόν ἀριθμοῦ θεωρίᾳ δέ καί πράξει κοσμούμενα καί ὡς ἀστέρας δεικνύμενα φαεινούς τῇ τε τοῦ βίου φαιδρότητι καί τῷ ἔξω κόσμου καί σαρκός εἶναι καί τά θεῖα διά παντός μελετᾶν καί τούτων κατατρυφᾶν ὡς ἐνόν κἀκεῖθεν τόν φωτισμόν καί τάς ἐλλάμψεις εἰσδέχεσθαι καί μηδέν ἄλλο ποθοῦντα ἢ τό ἀναλῦσαι καί συνεῖναι Χριστῷ. ταῦτά ἐστι τά ξύλα ἃ ὁ κύριος ἐφύτευσε τοῖς τοῦ θείου πνεύματος καρποῖς ἐπιβρίθοντα· οὗτοι εἰσιν οἱ ἐν ἐρημίαις καί ὄρεσι διατρίβοντες καί σπηλαίοις καί ὀπαῖς τῆς γῆς συγκλειόμενοι περί ὧν ὁ θεῖος Παῦλος φησίν· ἐκ δή τῆς τούτων ἀρετῆς καί ὑψηλῆς πολιτείας καί ἀγωγῆς καί τήν τῆς ἁγιωσύνης ἐπωνυμίαν τό ὄρος τοῦτο προσείληφε κατά τό εἰκός. εἰ δέ καί ὅτι εὔθετον ἔλαχεν εἶναι τοῦτο καί δεξιόν καί ἄγαν ἁρμοδιώτατον εἰς ὑποδοχήν ἀνδρῶν σπουδαίων καί εὐλαβῶν ἢ καί ἄλλως ἀρετῆς μείζονος πρόξενον καί ἁγιότητος τοῖς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐν αὐτῷ διατρίβουσι κἀντεῦθεν καὶ τὴν προσηγορίαν ταύτην
μετείληφε, καὶ τοῦτο πάντως οὐ πόρρω τῆς ἀληθείας ἐστίν. οὐκοῦν
οἱ πρὸ ἡμῶν ἀοίδιμοι βασιλεῖς τὴν τοιαύτην τῶν ἀνδρῶν τούτων βιο-
τὴν καὶ πολιτείαν ἐκθειάσαντες καὶ ὑπερβαλλόντως ἀποδεξάμενοι
θείῳ ἔρωτι κινηθέντες καὶ ζεούσῃ καρδίᾳ πρὸς εὐποιΐαν τῶν αὐτῶν
μοναχῶν τήν τ' ἐλευθερίαν αὐτοῖς διὰ χρυσοβούλλων ἐδωρήσαντο
λόγων καὶ ἄλλα τινὰ εἰς ἀφορμὴν τοῦ ἑαυτῶν βίου καὶ σωματικὴν
παραμυθίαν καὶ σύστασιν ὡσεὰν μὴ διατάκτα εἰς τὸ τῆς ἡσυχίας
ἔργον μηδὲν τὸ προσιστάμενον ἔχοιεν ἐπὶ τοῖς ὑπὲρ ἀρετῆς αὐτῶν ἀγω-
νίσμασιν· ἐπαινετοὶ μὲν οὖν τοῦ τρόπου τούτου τῆς εὐποιΐας, ἀλλ'
ἔλαθον ἑαυτοὺς τῇ ἐλευθερίᾳ ταύτῃ ἐγκαταμίξαντες καί τι τῶν οὐ
προσηκόντων· διεπράξατο γὰρ καὶ ἐθέσπισαν εἶναι καὶ κυριοῦσθαι
πρῶτον ἐν τοῖς αὐτοῖς μοναχοῖς παρ' αὐτῶν μὲν τῶν μοναχῶν ἐκλεγόμε-
νον καὶ εἰς τὸ αὐτὸ πρωτεῖον ἐγκαθιστάμενον, τοῦτον δὲ πάλιν
πνευματικῶς αὐτοὺς ἀνακρίνοντά τε καὶ διευθύνοντα, αὐτὸν δὲ ὑφ'
ἑαυτοῦ οἰκονομούμενον καὶ διεξαγόμενον καὶ μήτε πρὸς ἁγιωτάτου
πατριάρχου μήτε μὴν παρ' οἱουδήτινος ἑτέρου ἀρχιερέως λαμβάνειν
σφραγῖδα κατὰ τὴν ἐκκλησιαστικὴν παρατήρησιν ὑπὲρ δῆτα καὶ
ἦν τοῦ ἀντικειμένου ὑποβολὴ καὶ ἐπήρεια τοῦ ἀεὶ μὲν τοῖς ἀνθρώ-
ποις βασκαίνοντος ἐπ' ἔργοις ἀγαθοῖς καὶ παρεμποδίζοντος, βασκή-
ναντος δὲ κἀνταῦθα καί τι τῶν μὴ δεόντων προξενήσαντός τε καὶ
παρεντείραντος ἐπὶ τοῖς λαμπροῖς τῶν βασιλέων ἐκείνων ἀριστεύμασί
τε καὶ προστάγμασιν· ἀλλ' οὐκ εἴασε τοῦτο ἡ τοῦ θεοῦ ἀγαθότης
ἡ τὰ πάντα καλῶς κυβερνῶσα καὶ διεξάγουσα μένειν διαπαντὸς ἀνί-
ατόν τε καὶ ἀδιόρθωτον, ἀλλ' ὥσπερ ἑκάστῳ ἄλλο καὶ ἄλλο τι ἐκ τῶν
αὐτοῦ πλουσίων δωρημάτων ἀποχαρίζεται, οὕτως κἀμοὶ τὴν χάριν
ταύτην ἐπεχορήγησε· κινεῖται γὰρ ἡ βασιλεία μου ὑπὸ τῆς αὐτοῦ
χάριτος καὶ ἔννοιαν λαμβάνει τοῦ ἐπισυμβάντος οὕτω μὴ προση-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κόντως κἀντεῦθεν καὶ πρὸς τὴν τοῦ πράγματος διόρθωσιν διανί-
σταται καὶ παντὶ τρόπῳ τὸ δέον ἐπιζητεῖ ὁμοῦ μὲν πρὸς ἀποδο-
χὴν καὶ εὐαρέστησιν τοῦ Θεοῦ ὁμοῦ δὲ καὶ τὸ προγεγονὸς ἐκεῖνο
ἐπανορθῶσαι ποθοῦσα ἡ βασιλεία μου βασιλεῦσι καὶ γὰρ προσή-
κον ἐστι. μάλα καὶ δίκαιον εἴ τι που τοῖς πρὸ αὐτῶν τύχοι πα-
ρασφαλὲν ἐπιζητεῖν προθύμως τὴν εἰς τοῦτο θεραπείαν καὶ ἐπανόρ-
θωσιν μέντοιγε καὶ τὸν δὲ τὸν σκοπὸν καὶ τὴν πρόθεσιν ταύτης
ἡ βασιλεία μου γνωρίζει σαφῶς καὶ κοινοποιεῖται πᾶσι τοῖς ἐν τῷ
δηλωθέντι ὄρει ποιουμένοις τὴν ἄσκησιν ὅσοι τε εἰς προστασίας καὶ
ἡγουμενείας ὅσοι ἐν ἡσυχίᾳ καὶ ὅσοι ἐν κοινοβίοις τυγχάνουσιν εἰση-
γεῖται τούτοις καὶ παραινεῖ τὰ λυσιτελῆ καὶ σωτήρια ὑπὲρ τοῦ
προκειμένου σκοποῦ ὡσὰν δηλονότι ὁ κατὰ καιροὺς εἰς πρῶτον
εὑρισκόμενος ἐν αὐτοῖς δέχηται σφραγῖδα ἀρχιερατικήν. δέχονται
ταῦτ' ἀσμένως ὡς εὐγνώμονες καὶ ὑπήκοοι τῶν δεσποτικῶν ἐντο-
λῶν καὶ τῆς πρὸς αὐτοὺς τοιαύτης κηδεμονίας καὶ προμηθείας
χάριν ὅτι πλείστην ὁμολογοῦσι τῇ βασιλείᾳ μου λαμβάνειν μὲν
τὸν πρῶτον αὐτῶν σφραγῖδα συντίθενται ἀλλ' αἰτοῦσι μὴ παρ' ἐπι-
σκόπου ἢ ἑτέρου ἀρχιερέως τινὸς ἀλλ' ἢ παρὰ μόνου τοῦ ἁγιωτάτου
καὶ οἰκουμενικοῦ πατριάρχου. οἰκοῦν καὶ ἐκπέμπουσι μετὰ πλεί-
στης προθυμίας καὶ ἡδονῆς τὸν νῦν εὑρισκόμενον εἰς αὐτοὺς ὁσι-
ώτατον πρῶτον ἱερομόναχον κῦρ Θεοφάνην ὃς καὶ καταλαβὼν
ἐν ταυθοῖ δέχεται αἰτίκα σφραγῖδα πρὸς τοῦ παναγιωτάτου μου
δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου κατὰ τὴν ἐκκλησιαστικὴν
τάξιν τε καὶ συνήθειαν κἀντεῦθεν καὶ τίμιον ἀπολύεται γράμμα
τοῦτο σιγιλλιῶδες δικαιοῦν ὥστ' αὐτὸν δὴ τοῦτον τὸν ὁσιώτατον
πρῶτον καθεξῆς δὲ καὶ τοὺς λοιποὺς ὑπὸ τὴν πατριαρχικὴν τοῦ-
το τὸ μέρος ἐπιστασίαν τελεῖν καὶ παρ' αὐτῆς δέχεσθαι τὴν σφρα-
γῖδα προηγουμένως εἶθ' οὕτως εἶναί τε καὶ ἀκούεσθαι πρῶτον ὡσὰν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐντεῦθεν τὴν θείαν χάριν οὕτως λαμβάνων καὶ τοῖς ἑτέροις ὁμοιοτρόπως μεταδιδῷ οὓς ἂν δηλονότι διακρίνῃ ἀξίους εἶναι καὶ ἱκανοὺς εἰς προστασίας καὶ ἡγουμενείας τῶν ἐκεῖ διακειμένων σεβασμίων μονῶν. τοῦτο γὰρ καὶ μόνον ὡς ἐλλεῖπον τοῖς ἐκεῖσε μέχρι τοῦ-νῦν ἤδη καὶ πρὸς ἀναπλήρωσιν τῆς νενομισμένης ἐκκλησιαστικῆς τάξεως ἐπιδέδοται τὴν δ' ἄλλην πᾶσαν ἐλευθερίαν αὐτῶν ἔχειν αὐτοὺς ἀμετάτρεπτον καὶ ἀμεταποίητον τὸ δηλωθὲν τίμια σιγιλλιῶδες γράμμα ἐπιβεβαιοῖ καὶ ἐπικυροῖ. ἔτι γε μὴν ἀποχαρίζεται αὐτὸς οὗτος ὁ παναγιώτατός μου δεσπότης ὁ οἰκουμενικὸς πατριάρχης διὰ τοῦ ῥηθέντος τιμίου σιγιλλιώδους αὐτοῦ γράμματος τῷ δηλωθέντι ὁσιωτάτῳ πρώτῳ καὶ τοῖς μετ' αὐτὸν καθεξῆς καὶ χάριν τοιάνδε, ἵνα δηλονότι ἐν τῷ λειτουργεῖν αὐτοὺς τῷ Θεῷ μετὰ τῶν ἱερῶν ἐπιγονάτων τὴν τοιαύτην λειτουργίαν ἐπιτελῶσι πολλὰ πολλάκις ὑποθεμένης καὶ αἰτησάσης τοῦτο τῆς βασιλείας μου ὡς μὴ ὂν ἐνδεδομένον πρότερον οὐδὲ σύνηθες, ἀλλ' ἄρτι πρώτως ἐγκαθιστάμενον. ταῦτα τοίνυν καὶ ἕτερα πρὸς τούτοις κατὰ μέρος δηλοποιοῦντος τοῦ τοιούτου τιμίου· πατριαρχικοῦ σιγιλλιώδους γράμματος ἀκολούθως τούτῳ καὶ ἡ ἡμετέρα εὐσεβὴς γαληνότης τὸν παρόντα τόνδε χρυσόβουλλον λόγον αὐτῆς ἐπιβραβεύει καὶ ἐπιχορηγεῖ δι' οὗ καὶ στέργει καὶ βεβαιοῖ καὶ ἐπικυροῖ αὐτὸ τοῦτο τὸ τίμιον πατριαρχικὸν σιγιλλιῶδες γράμμα καὶ ὀφείλει διαμένειν εἰς τὸν ἑξῆς ἅπαντα καὶ διηνεκῆ χρόνον ἀμετάτρεπτον καὶ ἀπαραποίητον καὶ ἀπαράθραυστον κατὰ πᾶσαν τὴν αὐτοῦ δύναμιν καὶ περίληψιν καὶ ἔσται μὲν τοαποτοῖδε (sic) ὁ κατὰ καιροὺς εὑρισκόμενος πρῶτος ἐν τῷ δηλωθέντι ἁγίῳ Ὄρει ὑπὸ τῆς πατριαρχικῆς μεγάλης πνευματικῆς ἡγεμονίας τὴν σφραγίδα κατὰ τὸ ἔθος λαμβάνων ἐκτελῶν δὲ καὶ τὴν θείαν ἱερουργίαν μετὰ ἐπιγονάτων καθὼς ταῦτα ἐν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῷ παρόντι ἐκυρώθη καί τέτακται· ἔσονται δέ ὁμοίως καί διαμενοῦσι βέβαια καί ἀπαρασποίητα εἰσοπαντελές καί τἄλλα πάντα ὅσα καταμέρος τῷ δηλωθέντι τιμίῳ πατριαρχικῷ σιγιλλιώδει γράμματι ἐμπεριέχεται ἐλευθερίας χάριν καί ἀνενοχλησίας αὐτοῦ τέ τοῦ ὁσιωτάτου πρώτου καί τῶν εἰρημένων μοναχῶν. τῇ γάρ ἰσχύϊ καί δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου διαφυλαχθήσεται καί μενεῖ εἰς ἅπαντα τόν ἑξῆς χρόνον βέβαιον ὡς εἴρηται καί ἀπαράθραυστον τό δηλωθέν τίμιον πατριαρχικόν σιγιλλιῶδες γράμμα κατά τήν δύναμιν αὐτοῦ πᾶσαν καί περίληψιν ὡς κανονικῶς καί εὐλόγως καί δικαίως ἐκτεθέν καί ἀπολυθέν καί οὐδείς τῶν ἁπάντων ἔσεται εἰς ἀθέτησιν ἤ ἀνατροπήν χωρήσων τινός τῶν ἐν αὐτῷ ἐξ ὀνόματος δηλοποιουμένων τε καί περιεχομένων ἐπείπερ καί εἰς τήν τούτων ἁπάντων βεβαίωσιν καί ἀσφάλειαν καί ἑδρασμόν καί ὁ παρών χρυσόβουλλος λόγος τῆς βασιλείας μου γεγονώς ἐπεχορηγήθη καί ἐπεβραβεύθη τῷ πολλάκις εἰρημένῳ ὁσιωτάτῳ πρώτῳ ἱερομονάχῳ κυρῷ Θεοφάνει μετ' αὐτόν δέ καί τοῖς καθεξῆς γενησομένοις πρώτοις ἀπολυθείς κατά μῆνα νοέβριον τῆς ἐνισταμένης ἑνδεκάτης ἐπινεμήσεως τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ εἰκοστοῦ πρώτου ἔτους ἐν ᾧ καί τό ἡμέτερον εὐσεβές καί θεοπρόβλητον ὑπεσημήνατο κράτος.

Ἀνδρόνικος ἐν Χριστῷ τῷ Θεῷ πιστός βασιλεύς καί αὐτοκράτωρ Ῥωμαίων Δούκας Ἄγγελος Κομνηνός ὁ Παλαιολόγος.

(Dölger "Aus den Schatzkammern des Heiligen Berges", München 1948, σ. 36-38 ἐκ τοῦ ἀρχείου τῆς μονῆς Ἰβήρων. ἐκδοθὲν ὑπὲρ τοῦ τέλους τοῦ ἁγ. Ὄρους τῷ 1312. περὶ ἄλλων ἐκδόσεων β. αὐτ. σ. 351

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ